τητα, εἰ ἦν φαλακρός, τὸ μέγα εἰ ἦν μέγας, τὸ μικρὸν εἰ ἦν μικρός, οὐλὰς εἰ εἶχεν ἐξ ἑλκῶν οὐλὰς καὶ τὰ τοιαῦτα, οὕτως καὶ αἱ ψυχαὶ ἐξιοῦσαι ἔχουσι τὸ εἶδος αὐτῶν τῆς ζωῆς, οἷον τὸ συνειδός· καὶ λοιπὸν ὁρῶσιν οἱ δικασταὶ τὸ εἶδος τοῦτο καὶ τὸ συνειδὸς καὶ γινώσκουσι τὰς πράξεις. ἰδοὺ οὖν, ὅτι καὶ ἀπέδειξεν, ὡς πρὸς μῦθον ἁπαντῶν, ἐπεί τις οὐκ οἶδεν, ὅτι θεῖαι οὖσαι δυνάμεις αἱ κρίνουσαι καὶ τὰ τῇδε καὶ τὰ πανταχοῦ ἴσασιν, ἀλλὰ ἀποδείκνυσιν ὡς πρὸς μῦθον ἀποτεινόμενος· τοῦτο γὰρ καὶ ἐν τῷ Φαίδωνι πεποίηκεν περὶ τοῦ πυρὸς καὶ εἶπεν, ὅτι οὐδὲν θαυμαστὸν εἶναι πῦρ ὑπὸ γῆν, ὡς δηλοῦσιν οἱ ἀναθυμιάσεις.

p. 524 a. *ταῦτά ἐστιν, ὦ Καλλίκλεις.*

4 ἐπειδὴ καὶ ὁ Καλλικλῆς ᾔδει τοὺς μύθους τούτους, ἀλλὰ διὰ βάθους οὐκ ἤρχετο αὐτῶν, διὰ τοῦτο τούτους αὐτῷ προφέρει καὶ λέγει αὐτῷ τὸ βάθος, ἵνα γνῷ, ὅτι ἐκεῖνοι οἱ δικασταὶ ἀδωροδόκητοί εἰσι καὶ οὐδὲν ἐκεῖ ὠφελήσει ῥητορικὴ θέλουσα ἀδικεῖν.

p. 524 d. *ἢ τὰ πολλὰ ἐπί τινα χρόνον.*

5 καλῶς καὶ τὸ ἐπί τινα χρόνον· οὐ γὰρ διὰ παντός· καὶ ἄλλως καὶ τὸ ἢ τὰ πολλά· τί γὰρ ὅτι ἐπιπόλαιά τινα εἶχε πάθη, ἃ εὐθέως ἅμα τῷ ἀποθανεῖν συνέπεσεν καὶ ἀφανῆ ἐγένετο.

p. 524 d. *τά τε τῆς φύσεως.*

6 μὴ νομίσῃς ἐκ τούτου, ὅτι φυσική ἐστιν ἡ κακία τῇ ψυχῇ, ἐπεὶ εἰ ἀσώματός ἐστιν καὶ ἀθάνατος ἡ ψυχή, ἔχοι δὲ καὶ ἐκ φύσεως τὴν κακίαν, καὶ ἡ κακία ἔσται ἀθάνατος, ὅπερ ἄτοπον· ἀλλ' ἐκ φύσεως λέγει ἢ τὴν συζήσασαν τοῖς αἰσχροῖς, ὡς οἱονεὶ συνουσιωθῆναι αὐτῇ τὴν κακίαν, ἢ τὴν ταῖς κράσεσι τοῦ σώματος δουλεύσασαν. εἴρηται γάρ, ὅτι ταῖς τοῦ σώματος κράσεσιν ἕπονται αἱ τῆς ψυχῆς δυνάμεις· ἀλλὰ προστιθέασι

---

9 Plat. Phaed. 111 d

---

**30** mg. ση. οἷα τὰ ἐκ φιλοσοφίας ἡμῖν ἐγγινόμενα δῶρα